σκήψασθαι, ἡγούμενος δεινὸν εἶναι, εἰ ἄρα περὶ | παί-
δων ἐφιλονικήσαμεν ἡμεῖς πρὸς ἀλλήλους, τούτου ἕνεκα
41 ἐξελάσαι τινὰς ζητῆσαι ἐκ τῆς πατρίδος. ἔπειτα δὲ καὶ
οὐδεμίαν ἡγούμην πρόνοιαν εἶναι τραύματος ὅστις μὴ
ἀποκτεῖναι βουλόμενος ἔτρωσε. τίς γὰρ οὕτως ἐστὶν
εὐήθης, ὅστις ἐκ πολλοῦ προνοεῖται ὅπως ἕλκος τις
42 αὐτοῦ τῶν ἐχθρῶν λήψεται; ἀλλὰ δῆλον ὅτι καὶ οἱ τοὺς
νόμους ἐνθάδε θέντες, οὐκ εἴ τινες μαχεσάμενοι ἔτυχον
ἀλλήλων κατάξαντες τὰς κεφαλάς, ἐπὶ τούτοις ἠξίωσαν
τῆς πατρίδος φυγὴν ποιήσασθαι· ἢ πολλούς γ' ἂν ἐξή-
λασαν· ἀλλ' ὅσοι ἐπιβουλεύσαντες ἀποκτεῖναί τινας
ἔτρωσαν, ἀποκτεῖναι δὲ οὐκ ἐδυνήθησαν, περὶ τῶν τοι-
ούτων τὰς τιμωρίας οὕτω μεγάλας κατεστήσαντο, ἡγού-
μενοι, ὑπὲρ ὧν ἐβούλευσαν καὶ προὐνοήθησαν, ὑπὲρ
τούτων προσήκειν αὐτοῖς δίκην δοῦναι· εἰ δὲ μὴ κα-
43 τέσχον, οὐδὲν ἧττον τό γ' ἐκείνων πεποιῆσθαι. καὶ
ταῦτα ἤδη καὶ πρότερον πολλάκις ὑμεῖς οὕτω διέγνωτε
περὶ τῆς προνοίας. καὶ γὰρ δεινὸν ⟨ἂν⟩ εἴη, εἰ ὅσοι ἐκ
μέθης καὶ φιλονικίας ἢ ἐκ παιδιῶν ἢ ἐκ λοιδορίας ἢ
περὶ ἑταίρας μαχόμενοι ἕλκος ἔλαβον, εἰ ὑπὲρ τούτων
ὧν, ἐπειδὰν βέλτιον φρονήσωσιν, ἅπασι μεταμέλει, οὕ-
τως [καὶ] ὑμεῖς μεγάλας καὶ δεινὰς τὰς τιμωρίας ποιή-
σεσθε, ὥστε ἐξελαύνειν τινὰς τῶν πολιτῶν ἐκ τῆς πα-
τρίδος.

44 Θαυμάζω δὲ μάλιστα τούτου τῆς διανοίας. οὐ γὰρ
τοῦ αὐτοῦ μοι δοκεῖ εἶναι ἐρᾶν τε καὶ συκοφαντεῖν, ἀλλὰ
τὸ μὲν τῶν εὐηθεστέρων, τὸ δὲ τῶν πανουργοτάτων.
ἐβουλόμην δ' ἂν ἐξεῖναί μοι παρ' ὑμῖν καὶ ἐκ τῶν ἄλλων
ἐπιδεῖξαι τὴν τούτου πονηρίαν, ἵνα ἐπίστησθε ὅτι πολὺ
ἂν δικαιότερον αὐτὸς περὶ θανάτου ἠγωνίζετο ἢ ἑτέρους
45 ὑπὲρ τῆς πατρίδος εἰς κίνδυνον καθίστη. τὰ μὲν οὖν

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415481120/56 UNIVERSITÄT LEIPZIG